Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XVI. Munera Episcopis donata, & literae ad omnes scriptae.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅπως τοῖς Ἐπισκόποις συνειστιάθη Κωνσταντῖνος εἰκοσαετηρίδος οὔσης.

Κατὰ τὸ αὐτὸ δὲ αὐτῷ καὶ τῆς βασιλείας εἰκοσαετὴς ἐπληροῦτο χρόνος· ἐφ᾽ ᾧ πάνδημοι μὲν ἤγοντο πανηγύρεις τοῖς λοιποῖς ἔθνεσι. τοῖς δέ γε τοῦ Θεοῦ λειτουργοῖς, εὐωχίας αὐτὸς ἐξῆρχε βασιλεὺς, συμποσιάζων εἰρηνεύσασι, καὶ οἱονεὶ θυσίαν ταύτην ἀποδιδοὺς ἐμπρέπουσαν τῷ Θεῷ δι᾽ αὐτῶν. οὐδ᾽ ἀπελείπετό τις Ἐπισκόπων βασιλικῆς ἑστιάσεως. κρεῖττον δ᾽ ἦν παντὸς λόγου τὸ γινόμενον. B δορυφόροι μὲν γὰρ καὶ ὁπλῖται γυμναῖς ταῖς τῶν ξιφῶν ἀκμαῖς ἐν κύκλῳ τὰ πρόθυρα τῶν βασιλείων ἐφρούρουν. μέσοι δὲ τούτων ἀδεεῖς οἱ τοῦ Θεοῦ διέβαινον ἄνθρωποι, ἐνδοτάτω τῶν ἀνακτόρων ἐχώρουν. εἶθ᾽ οἱ μὲν αὐτῷ συνανεκλίνοντο. οἱ δ᾽ ἀμφὶ τὰς ἑκατέρων προσανεπαύοντο κλινάδας. Χριστοῦ βασιλείας ἔδοξεν ἄν τις φαντασιοῦσθαι εἰκόνα, ὄναρ τ᾽ εἶναι ἀλλ᾽ οὐχ ὕπαρ τὸ γινόμενον.

Caput XV.

Quomodo Conſtantinus vicennalibus ſuis Epiſcopos convivio exceperit.

Eodem tempore viceſimus Imperii ejus annus complebatur. Cujus rei causâ cùm in omnibus provinciis publicæ feſtivitates agerentur, Imperator Dei miniſtros ad convivium vocavit; & cum iiſdem jam inter ſe conciliatis epulatus, hoc velut conveniens ſacrificium per illos obtulit Deo. Neq; ullus Epiſcoporum ab hoc Imperiali convivio abfuit. Res porrò ipſa omnem dicendi copiam longè ſuperabat. Protectores enim & milites in orbem diſpoſiti, ſtrictis gladiis palatii veſtibulum cuſtodiebant. Homines autem Dei per medium illorum abſq; ullo metu tranſibant, & ad intima uſque palatii penetralia ingrediebantur. Ex his deinde alii unà cum Imperatore accubuerunt: alii in ſtibadiis utrimque diſpoſitis diſcubuere. Prorſus imago quædam Regni Chriſti adumbrari, réſque ipſa ſomnio quàm veritati propior videbatur.

C

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Χαρίσματα Ἐπισκόποις, καὶ γράμματα πρὸς τοὺς πάντας.

Ἐπεὶ δὲ λαμπρῶς τὰ τῆς εὐωχίας προὐχώρει, ἔτι καὶ τοῦτο βασιλεὺς δεξιούμενος τοὺς πάντας προσετίθει, μεγαλοψύχως ἕκαστον κατὰ τὴν πρέπουσαν ἀξίαν τοῖς παρ᾽ αὐτοῦ τιμῶν ξενίοις. τῆς δὲ συνόδου ταύτης, καὶ τοῖς μὴ παροῦσι τὴν μνήμην δι᾽ οἰκείου παρεδίδου γράμματος. ὃ δὴ καὶ αὐτὸ, ὥσπερ ἐν στήλῃ τῇδε τῇ περὶ αὐτοῦ συνάψω διηγήσει, τοῦτον ἔχον τὸν τρόπον.

Caput XVI.

Munera Epiſcopis donata, & literæ ad omnes ſcriptæ.

Celebratis ſplendidiſſimo apparatu conviviis; Imperator cunctos liberaliter excipiens, id etiam pro ſua magnificentia adjecit, ut unumquemque pro meritis ac dignitate muneribus honoraret. Eos quoque qui huic Synodo minimè interfuiſſent, de rebus in ea geſtis certiores fecit per literas: quas in hoc Opere, tanquam in tabula quadam inciſas proponam. Sunt autem hujuſmodi:

D

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

Κωνσταντίνου πρὸς τὰς ἐκκλησίας περὶ τῆς ἐν Νικαίᾳ συνόδου.

Κωνσταντῖνος Σεβαστὸς ταῖς ἐκκλησίαις.

Πεῖραν λαβὼν ἐκ τῆς τῶν κοινῶν εὐπραξίας, ὅση τῆς θείας δυνάμεως πέφυκε χάρις, τοῦτον πρό γε πάντων ἔκρινα εἶναί μοι προσήκειν σκοπὸν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς ἐκκλησίας πλήθεσι, πίστις μία καὶ εἰλικρινὴς ἀγάπη, ὁμογνώμων τε περὶ τὸν παγκρατῆ Θεὸν εὐσέβεια τηρῆται. ἀλλ᾽ ἐπειδὴ τοῦτ᾽ οὐχ οἷόν τ᾽ ἦν ἀκλινῆ καὶ βεβαίαν τάξιν

Caput XVII.

Epiſtola Conſtantini ad Eccleſias de Synodo Nicæna.

Conſtantinus Auguſtus Eccleſiis.

Cum ex proſpero Reipublicæ ſtatu compertum haberem, quanta fuiſſet erga nos omnipotentis Dei benignitas; in hoc præcipuè mihi elaborandum eſſe exiſtimavi, ut à ſanctiſſimis Eccleſię Catholicæ populis una fides, ſincera caritas, & conſona erga omnipotentem Deum religio ſervaretur. Sed quoniam fieri nō poterat ut ea res firmè ac ſtabiliter conſtitueretur, niſi omnibus Epiſco-